στέργων. Ἐπὶ κακῷ δ' εἰ προσελήλυθ' ἐνθάδε
ἢ βουλόμενος ὑμῶν ⟨τι⟩ κακοτεχνεῖν λάθρα,
οὗτός μ' ὁ Πάν, μειράκιον, αἱ Νύμφαι θ' ἅμα
ἀπόπληκτον αὐτοῦ πλησίον τῆς οἰκίας
ἤδη ποήσειαν. Τετάραγμ' ⟨εὖ⟩ ἴσθ' ὅτι
οὐδὲ μετρίως εἴ σοι τοιοῦτος φαίνομαι. :

ΓΟΡΓΙΑΣ Ἀλλ' ε⟨ἴ⟩ τι κἀγὼ τοῦ δέοντος σφοδρότερον
εἴρηκα, μηδὲν τοῦτο λυπείτω σ' ἔτι·
ἅμα γὰρ μεταπείθεις ταῦτα καὶ φίλον μ' ἔχεις.
Οὐκ ἀλλότριος δ' ὤν, ἀλλ' ἀδελφὸς τῆς κόρης
ὁμομήτριος, βέλτιστε, ταῦτά σοι λέγω. :

ΣΩΣΤΡ/ Καὶ χρήσιμός γ' εἶ, νὴ Δί', εἰς τὰ λοιπά μοι. :

(ΓΟ.) Τί χρήσιμος; : (ΣΩ.) Γεννικὸν ὁρῶ σε τῷ τρόπωι — :

(ΓΟ.) Οὐ πρόφασιν εἰπὼν βούλομ' ἀποπέμψαι κενήν,
τὰ δ' ὄντα πράγματ' ἐμφανίσαι. Ταύτῃ πατήρ
ἐσθ' οἷος οὐδεὶς γέγονεν οὔτε τῶν πάλαι
ἄνθρωπος οὔτε τῶν καθ' ἡμᾶς. : (ΣΩ.) Ὁ χαλεπός;
Σχεδὸν οἶδ'. : (ΓΟ.) Ὑπερβολή τίς ἐστιν τοῦ κακοῦ.
Τούτῳ ταλάντων ἔστ' ἴσως τουτὶ δυεῖν
τὸ κτῆμα· τοῦτ' αὐτὸς γεωργῶν διατελεῖ
μόνος, συνεργὸν δ' οὐδέν' ἀνθρώπων ἔχων,
οὐκ οἰκέτην οἰκεῖον, οὐκ ἐκ τοῦ τόπου
μισθωτόν, οὐχὶ γείτον' ἀλλ' αὐτὸς μόνος.